# TEZAUR LITURGIC

## 2 IUNIE

## SAVA HRISTODULIA

# SLUJBA

# SF.CUVIOS-MUCENIC

# COSMA

# DE LA ETOLIA

# ADUCEREA MOAŞTELOR

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 02 ΙΟΥΝΙΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΗΣ ΚΑΤΑΘΕΣΕΩΣ ΙΕΡΟΥ ΛΕΙΨΑΝΟΥ ΤΟΥ ΑΓΙΟΥ ΚΟΣΜΑ ΤΟΥ ΑΙΤΩΛΟΥ ΕΙΣ ΤΗΝ ΦΕΡΩΝΥΜΟΝ ΙΕΡΑΝ ΜΟΝΗΝ ΤΟΥ ΑΓΙΟΥ ΚΟΣΜΑ ΜΕΓΑΛΟΥ ΔΕΝΔΡΟΥ ΑΙΤΩΛΙΑΣ

**ΠΟΙΗΜΑ Ιερομονάχου Σάββα Χριστοδουλιά**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν στίχους δ’ και ψάλλομεν Προσόμοια.

Ήχος δ’. Ως γενναίον εν μάρτυσι.

Την τελείαν εζήλωσας, βιοτήν ιερώτατε, ενεργεία Πνεύματος, εμφορούμενος˙ διο και στήλη γεγένησαι, Κοσμά ισαπόστολε, απασών των αρετών˙ και δοχεία της χάριτος, ανεφάνησαν, τα οστά σου εκπέμποντα ως κρίνα, ευωδίαν ουρανίαν, τοις ευλαβώς προσιούσι σοι.

Πορευόμενος έβαλλες, των λογίων τα σπέρματα, και μαρτύρων αίματι, τετελείωσαι. Νυν επανάγων κρυπτόμενος, τοις θείοις λειψάνοις σου, συμπαθέστατε Κοσμά, ως σταχύων τα δράγματα, συνεισάγαγε, εις ουράνιον δόμον ένθα πάντων, των αγίων κατοικία, τους σε τιμώντας μακάριε.

Ρωμαλέως ηγώνισαι, κατά του πολεμήτορος, και σαυτόν ελάμπρυνας, ταις ασκήσεσι˙ τα μεν φθαρτά απωθούμενος, ως

πάθους παραίτια, των αφθάρτων δε σοφώς, εκ ψυχής ορεγόμενος, διο έλαβες, τους στεφάνους της νίκης και πορφύραν, βεβαμμένην εξ αιμάτων, του μαρτυρίου σου Άγιε.

Προσδραμόντες οψώμεθα, θυμηδέστατον θέαμα, τον Κοσμάν τον άγιον, επανήκοντα, εξ Αλβανίας εν Πνεύματι, χερσί βασταζόμενον, ιερέων ευλαβών, ως νυμφίον ωραίον δε, εισερχόμενον, φερωνύμω Μονή του Μεγαδένδρου, και λειψάνοις τοις ιδίοις, κρυφιομύστως καθήμενον.

Δόξα. Ήχος πλ. δ'.

Την φιλόχριστον ψυχήν σου, η χάρις ευραμένη, δοχείον θεοδέγμον ανέδειξε, τη στίλβη των αρετών λελαμπρυσμένον. Διο εν χρόνοις ζοφεροίς, φως έλαμψας τοις εν σκότει, τη γλυκεία σου διδαχή, τους ανέλπιδας παραμυθούμενους. Αλλά και νυν οσιώτατε Κοσμά, εκ σων λειψάνων μυρεύοσμον οστούν, τη της πατρίδος σου Μονή εναπέθηκας. Όπερ θησαυρόν πολύτιμον κεκτημένη, βοά σοι ιερώτατε˙ Μη παύση ικετεύων Χριστόν τον Θεόν, σωθήναι ας ψυχάς ημών.

Και νυν…Δέσποινα πρόσδεξαι…

Απόστιχα. Ήχος β'. Οίκος του Εφραθά.

Μνήμη σου η σεπτή, χαράς πληροί την πάσαν, Κοσμά την Εκκλησίαν˙ Χριστού γαρ ευωδία, εδείχθης τοις λειψάνοις σου.

Στίχ. Θαυμαστός ο Θεός εν τοις αγίοις Αυτού.

Νέμει σοι αληθώς, Κοσμά ατ αριστεία,η Αιτωλία πάσα. Αυτή γαρ ανεφάνης, πατήρ και παις πανόλβιε.

Στίχ. Τοις αγίοις τοις εν τη γη Αυτού…

Τύπος ει ιερός, των ιεροκηρύκων˙ πιστών η ευωδία˙ ρυτήρ των εν ανάγκαις, και μοναστών το καύχημα.

Δόξα. Τριαδικόν.

Δόξα σοι Βασιλεύ, Πατήρ Υιέ και Πνεύμα, Τριάς η εν Μονάδι˙ ανέτειλα ημίν γαρ, Κοσμάν τον μέγαν ήλιον.

Και νυν. Θεοτοκίον.

Άξιον παρ’ ημών, απόλαβε τον ύμνον, Παρθενομήτορ Κόρη˙ πρεσβεύεις γαρ απαύστως, δοθήναι πάσιν έλεος.

Νυν απολύεις, το Τρισάγιον, το απολυτίκιον εκ του Μεγάλου Εσπερινού και απόλυσις.

**ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**

Μετά τον προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα ιστώμεν στίχους στ’ και ψάλλομεν τα εξής προσόμοια.

Ήχος α’. Των ουρανίων ταγμάτων.

Πνευματικώς συνελθόντες, ανευφημούμεν σε, Κοσμά ιερομάρτυς, των οσίων το κλέος˙ τον εύοσμον λειμώνα των αρετών, την χρυσόφθογγον σάλπιγγα, το αγαλλίαμα πάντων των ευσεβών, και προστάτην συμπαθέστατον.

Κατακοσμήσας ενθέως, την Εκκλησίαν Κοσμά, νυμφαγωγός εγένου, εις τους άνω νυμφώνας, ανάγων τας χορείας των ευσεβώς, εκτελούντων την μνήμην σου, και τον Θεόν δοξαζόντων έν τε Πατρί, και Υιώ και Θείω Πνεύματι.

Τας διδαχάς σου πλουτούντες, ώσπερ παράδεισον, εδεμικής τρυφώμεν, χαρμονής θεομάκαρ˙ εν ταύταις γαρ ευρίσκομεν ευμαρώς, την οδόν την σωτήριον, μεμυρισμένην αρώμασι και οσμαίς, των λειψάνων σου μακάριε.

Προσόμοια έτερα.Ήχος δ'. Έδωκας σημείωσιν.

Γένος απολλύμενον, ανακαλέσαι βουλόμενος, ο φιλάνθρωπος Κύριος, Κοσμάν εξαπέστειλε, τον καλόν ποιμένα, τον ώσπερ θυσίαν, ολοκαυτούμενον ημίν, και επανάγοντα προς μετάνοιαν. Διο αυτού τοις ρήμασιν, αξιοχρέως επόμενοι, ευλογούμεν τον Κύριον, τον αυτόν αγιάσαντα.

Έδωκας κειμήλια, τη Εκκλησία σου Κύριε, των αγίων τα λείψανα˙ ημίν δε κατέλιπες τους Κοσμά του πάνυ, το λείψανον τούτο, όπερ τιμώντες ευλαβώς, της σης χρηστότητος απολαύομεν. Διο φιλανθρωπότατε, ταις του οσίου δεήσεσι, την Μονήν την φερώνυμον, περιφύλαττε άτρωτον.

Φύλαττε την ποίμνην σου, εν η αξίως απέθηκας, μυροθήκην οστέων σου, Κοσμά ισαπόστολε, και τας πέριξ κώμας, της σης γενετείρας, περιχαράκωσον στερρώς, εκ πάσης θλίψεως και δεινότητος, από πυρός τε και καύσωνος, από βασκάνου κακότητος, εξ απάτης και πτώσεως, και ζοφώδους αιρέσεως.

Δόξα. Ήχος πλ. β'.

Αποστολικής εντολής, γενόμενος έμπλεως, το εμπιστευθέν σοι τάλαντον, επιμελώς εργασάμενος, εκατοστεύον κέρδος τοις ομοπίστοις εθησαύρισας. Τω σε γαρ στρατολογήσαντι αρέσας,

χέρσον και υγράν ως ο Παύλος, επί μήκιστον εβάδισας. Και τη παντευχία του Σταυρού καθωπλισμένος, του εχθρού τας ελεπόλεις εστόρεσας, την πεπτωκυίαν δε του Γένους σκηνήν, εις ύψος ανώρθωσας. Θεμέλιον γαρ έθηκας τον Χριστόν, εν ώ πας οίκος θεοσεβείας εστήρικται. Αυτόν εκτενώς, ισαπόστολε Κοσμά, μη παύση ικετεύων, το Γένος ευκληρούν διατηρήσαι, και σώσαι τας ψυχάς ημών.

Και νυν. Τις μη μακαρίσει σε…

Είσοδος, Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα εφεξής αναγνώσματα. (Όρα ταύτα τη 10η Φεβρουαρίου)

Προφητείες Ησαΐου το Ανάγνωσμα. (Κεφ. ΜΓ', 9-14)

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. Γ', 1-9)

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. Ε', 15- ΣΤ', 3)

Εις την Λιτήν.

Ιδιόμελα. (ψαλλόμενα κατ' επιλογήν) Ήχος α'.

Παμμακάριστε πάτερ, πατρικών ενηχημάτων ακουτιζόμενος, εξ απαλών ονύχων τον Χριστόν εγκάρδιον έφερες. Και τούτον ακολουθήσας κατ' ίχνος, των όντων την γνώσιν ηγάπησας. Τω γαρ ακτίστω φωτί ελλαμπόμενος, τους όρους της φύσεως εν Χριστώ εθεώρεις, καινοπρεπώς κεφαλαιουμένους. Όθεν νουνεχέστατε, βουλήν Θεού εκπληρών, Έθνος απολωλεκός την καρδίαν, ταις μελιρρύτοις σου διδαχαίς, θεουργικώς εθαρσοποίησας. Άλλ' ώ τρισμάκαρ, αξιάγαστε Κοσμά, τη μαρτυρική σου παρρησία

κεχρημένος, διηνεκώς καθικέτευε Χριστόν τον Θεόν, δωρήσασθαι ημίν, αμαρτημάτων την συγχώρησιν, και το μέγα έλεος.

Ήχος β'.

Ιερεύς γεγονώς ενθεώτατος, τω υπερουσίω Θεώ ιερούργεις την κτίσιν, και τω συγγενεί σου βροτείω Γένει, την θείαν ωκονόμεις περιποίησιν. Διο και νυν, πανσεβάσμιε Κοσμά, τη ουρανίω τραπέζη εις το διηνεκές λειτουργών, το απαράθραυστον πίστωσον των πρεσβειών σου, εν τη γλυκύτητι των μνημοσύνων σου, και τη οσμή των μυριπνόων λειψάνων σου.

Ήχος γ'.

Ταις βαφαίς των αιμάτων σου, σημειοφόρε Κοσμά, των Ελλήνων την υπόστασιν, αναγεννωμένην επορφύρωσας. Αποστολικώς γαρ ενδυσάμενος την εξ ύψους τόλμαν, τυράννου ψήφον παλίμφημον, θαρσαλέως καταπάτησας. Διόπερ και ημών το πάμφυλον ανενδότως βοά σοι. Άγγελε της Ελλάδος, τω καλάμω των πρεσβειών σου, εναπόγραφον ποίησον την ποίμνην σου, εν ταις βίβλοις, της Χριστού Βασιλείας.

Ήχος δ'.

Εύλαλε Κοσμά, ου τας φρένας τετύφωσαι φιλοΰλω πυρί, άλλ' ύδωρ ζων ελάλει εν σοι. Όθεν φιλούντα σε, εφίλησέ σε η Σοφία, οίκον άγιον εαυτή δομησαμένη. Εφ' ώ και γέγονας μεγαλόφωνον του Λόγου στόμα, τας ευαγγελικάς αρετάς, συμβιβάζων τους συμφυλέτας. Άλλ' ου παρείδες διδάσκαλε πάνσοφε, και την των παίδων ψυχαγωγίαν. Σχολάς γαρ ενιδρύσας πολλάς, διδασκάλοις

εντέταλσαι, στοιχειούν τους ανήβους, και τους ακμαίους τελειούν. Διο απαράμιλλε διδάσκαλε, μη ελλείπης αεί καθηγείσθαι ηλικίας απάσης εις την των όντων επιστασίαν και την των υπέρ φύσιν φιλοσοφίαν.

Ήχος πλ. α'.

Παγκόσμιε πάτερ Κοσμά, χρυσόν σε άπεφθον ευρούσα, η αμήχανος Σοφία του Θεού, έγκριτόν σε έθετο δακτύλιον, τη παντεχνήμονι δεξιά, μελλούση τεχνουργείν, λαόν κατεσκευασμένον. Όθεν συνάρσει βραχίονος Θεού, πεπτωκυίαν ιδών την Ελληνίδα φυλήν, αισχυντηράν και τετιλμένην, εις ευφρόσυνον ημέραν εκόσμησας. Παρθένους εις Χριστόν ενυμφαγώγησας, αζύγους ενουθέτησας, τους εν ζυγώ παρεμύθησας, οίκους όλους επεστήριξας. Όθεν και ημείς, οι εκείνων γνήσιοι έκγονοι, ευχαριστούντες σοι βοώμεν. Παμμάκαρ εθνοπάτορ Κοσμά, λιταίς σου ανυστάκτοις, μη παύση ημών εκπληρούν τας συμφύλους ελπίδας, εις δόξαν της Τριάδος και ζωήν την αιώνιον.

Ήχος πλ. β'.

Χρυσουργέ των ανθρωπίνων ηθών, Κοσμά χρυσολογώτατε, τοις ακριβασμοίς των σων ρημάτων, τας ψυχάς εχαρακτήρισας, ένθετον τυπώσας του Πατρός το απαύγασμα. Εις τούτο γαρ η θεία τέθεικέ σε βουλή˙ Φως των εν σκότει, αθυμούντων παραμύθιον, μετανοούντων οτρηρόν παραστάτην, αμφιγνοούντων οξυρροπίαν, τα πάντα εν πάσι ως ο Παύλος φησί. Διο ενθεώτατε Κοσμά, των

κάτω ποθουμένων ως ειπείν πληρωθέντων, και των άνω ημάς καταξίωσον, λιταίς σου ακαμάτοις προς Κύριον.

Ήχος βαρύς.

Πάλαι μεν τη Εκκλησία, φωστήρες εξέλαμψαν, επ' εσχάτων δε των χρόνων, νεολαμπείς αστέρες ανεφάνησαν. Ων ηγείται ενδικώτατα, Κοσμάς ο Ισαπόστολος. Ούτος γαρ, υπέρ τους άλλους ταπεινούμενος, υπέρ πάντας εκοπίασε˙ πάντες εν ενί εμεγαλούργησαν, ούτος τα των πάντων, εν εαυτώ ενειργάσατο. Διδαχή και οσιότητι, ομολογία καθαρά, και αίματι μαρτυρίου ολοκαυτούμενος Χριστώ, την Εκκλησίαν κατεκόσμησε. Διό πάτερ, άκρος εν αγιότητι γεγονώς, ικέτευε δεόμεθα, σωθήναι τους τιμώντάς σε.

Ήχος πλ. δ'.

Της φιλομήνιδος Άγαρ, το μισόχριστον φύλον, ανδρειοφρόνως απήλασας όσιε˙ το δε φιλόχριστον γένος, εν κακοίς περιπεσόν, παλινζωούν ανεκαίνισας. Τύραννον γαρ αλαβάρχην* εκθρονίσας, εν υψηλαίς φρεσί, αδιάδοχον ητοίμασας θρόνον. Διο θεσπέσιε πάτερ, ο νεότευκτος λαός, βασιλευόμενος άνωθεν, βοά σοι εκτενώς. Όρχαμε του Γένους, θεομάκαρ Κοσμά, γενού τοις τιμώσι σε ημίν, καταθύμιον πεποθημένον, και πρεσβευτής προς τον Κύριον.

Δόξα. Ήχος πλ. β'.

Ώ πώς! ο συμπαθέστατος διδάσκαλος, αγχόνη περιεβάλετο; Πώς ο Μεγάλου Δένδρου καρπός, ασήμω ξύλω απηώρηται; Πώς ο εξ ου

των χειλέων, αι φυλαί της μοναρχίας εξεκρέμαντο, αδίκω απέθανε θανάτω; Βυθίων ψυχών τούτο το βρίθος,** φθονούντων το μίασμα, αραβιανών το κακούργημα. Έτρεμε κάτωθεν η γη, μη φέρουσα τους σταλαγμούς των αιμάτων˙ εξίσταντο άνωθεν οι ουρανοί, ψυχήν ορώντες αωρί ανερχομένην. Άλλ' ώ πάτερ Προσφιλέστατε, θαυμαστώς νεωστί, η θρεψαμένη σε εδέξατο οίκαδε. Αναπαύου τοίνυν, εν των λειψάνων σου τοις μύροις, και ταις καρδίαις των αγαπώντων σε.

Και νυν Θεοτόκε συ εί η άμπελος...

*ή «φορολόγον» **ή «μύσος»

Εις τον στίχον. Στιχηρά προσόμοια.

Ήχος πλ. α'. Χαίροις ασκητικών.

Χαίροις ο εν εσχάτοις καιροίς, αναφανείς ώσπερ αστήρ τηλαυγέστατος, και λάμψας τοις εν τω σκότει, κατακειμένοις βροτοίς, διεγείρων τούτους εις μετάνοιαν˙ Κοσμά ισαπόστολε, των οσίων το καύχημα, των θειοτάτων διδασκάλων ο πρώτιστος και το άριστον αθλητών εγκαλλώπισμα. Όθεν οι συνελθόντες σοι, τιμώμεν πανεύφημε, την παναγίαν σου μνήμην και τα μυρίπνοα λείψανα˙ αιτούντες παμμάκαρ, ταις λιταίς σου δωρηθήναι, το μέγα έλεος.

Στίχ. Θαυμαστός ο Θεός εν τοις αγίοις Αυτού.

Χαίροις ο νοητός ποταμός, την θείαν πόλιν καταρδεύων τοις ρήμασι, το δένδρον του παραδείσου, εν ώ τρυφώσι πιστοί, του Μεγάλου Δένδρου το καλλώπισμα˙ Κοσμά ιερώτατε, Εκκλησίας ο στέφανος, το των δικαίων περιβόλαιον πάντερπον, και το έγκριτον

ευσεβείας κεφάλαιον. Πάντας κατευωδίασον, οδμαίς των λειψάνων σου, μάκαρ, πρεσβεύων απαύστως, Χριστώ τω σε αγιάσαντι, δοθήναι ειρήνην, ιλασμόν αμαρτημάτων και μέγα έλεος.

Στίχ. Τοις αγίοις τοις εν τη γη Αυτού...

Χαίροις ο Αιτωλίας βλαστός, Μεγάλου Δένδρου ο καρπός ο γλυκύτατος, Μονής φερωνυμουμένης καθηγεμών ο σεπτός και Ελλάδος πάσης το αγλάϊσμα˙ Κοσμά Παμμακάριστε, Εκκλησίας το έρυμα˙ ταις αρεταίς γαρ σεαυτόν κατεπύρσευσας, και της φύσεως τας αρχάς υπερβέβηκας. Όντως περιλεσχήνευτος υπάρχεις, μακάριε, ώσπερ κοινός ευεργέτης και πρεσβευτής ενθερμώτατος˙ δυσώπει δοθήναι ταις ψυχαίς ημών ειρήνην και μέγα έλεος.

Δόξα. Ήχος πλ. δ'.

Ο φιλάνθρωπος Θεός, βροτόν ιδών εκλελεγμένον, Κοσμάν τον πάνυ, θεοκέλευστον περαιώσαντα ρήμα, αίματι μαρτυρικώ εβεβαίου το έργον. Και θαύμασι δοξάσας αυτόν, ταις καθαραίς ψυχαίς, τούτου τους χαρακτήρας ενετύπωσε, και του Πνεύματος την δύναμιν, τοις λειψάνοις εξαιρέτως εδωρήσατο. Ών απτόμενοι σεπτώς, και ευλαβώς καταφιλούντες, κράζομεν λέγοντες. Πάτερ Κοσμά, δίδαξον σέβειν ορθοδόξως Τριάδα ομοούσιον, εν μια θεότητι.

Και νυν. Ανύμφευτε Παρθένε...

Νυν απολύεις, το Τρισάγιον και το Απολυτίκιον.

Ήχος α'. Της ερήμου πολίτης (Τους του Άθω πατέρας).

Των Θερμίων η πόλις, Μεγαδένδρου οι σύλλογοι, κώμη Ταξιάρχου και πάντες, αστυγείτονες χαίρετε˙ Κοσμάς γαρ ο υμέτερος βλαστός, εσχάτων επανήκεν οίκαδε˙ εξαιρέτως δε η φερώνυμος Μονή, το εύχος των Αιτωλών, βοάτω εν ευφροσύνη˙ Χαίροις Ελλάδος πάσης φωτιστά˙ χαίροις σοφέ ισαπόστολε˙ χαίροις, ο εν λειψάνοις τοις σοις, βρύων ιάματα.

Δόξα. Έτερον.Ήχος δ'. Ταχύ προκατάλαβε.

Τον οίκον του Πνεύματος, τον θεοφόρον Κοσμάν, ως όντα τα μέλλοντα, οίαπερ όμμα Χριστού, σαφώς οπτανόμενον. Δεύτε οι συνελθόντες, ευφημήσωμεν πόθω, σκεύος γαρ ανεδείχθη, καινουργούν τους εν κόσμω. Αυτού ταις ικεσίαις Χριστέ ο Θεός, σώσον τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον.

Το απ' αιώνος απόκρυφον... Απόλυσις

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά την α' στιχολογίαν, Κάθισμα.

Ήχος α'. Τον Τάφον σου Σωτήρ.

Φωνής της θεϊκής, υπακούσας θεόφρων, λαλούσης μυστικώς, τη αδόλω ψυχή σου, σαρκός έξω γέγονας, και Χριστώ ηκολούθησας˙ ος σε έθετο, ώσπερ λυχνίαν εν κόσμω˙ Τούτον αίτησαι, αμαρτημάτων ρυσθήναι, και πάσης κακώσεως.

Δόξα. Το αυτό.Και νυν. Θεοτοκίον.

Ως ούσα καθαρόν, του Δεσπότου δοχείον, ναμάτων σταλαγμούς, εκ της σης ευσπλαχνίας, καμοί εναπόσταξον, και τον νουν αποκάθαρον˙ όπως χαίρων σε, υμνολογώ Θεοτόκε, ήν ανύμνησαν, αι γενεαί των δικαίων, ως μόνην πανάμωμον.

Μετά την β’ στιχολογίαν, Κάθισμα.

Ήχος δ’. Ταχὺ προκατάλαβε.

Πτωχός και μειλίχιος, και ταπεινός και πραΰς, φιλόπτωχος άκακος, και ελεήμων σοφέ, Κοσμά αναδέδειξαι. Όθεν εμακαρίσθης, παρά του Ζωοδότου, ώκησε δε η χάρις, τοις σεπτοίς σου λειψάνοις, δι’ ών και βοήθει πάντας, μάκαρ θεόληπτε.

Δόξα. Το αυτό.Και νυν. Θεοτοκίον.

Κακία συνέχομαι, και βδελυρά ηδονή˙ νωθρεία προσβάλλει με, και ραθυμία πολλή, Μαρία Θεόνυμφε˙ Όθεν τη ση πρεσβεία, έγειρόν με πεσόντα˙ μόνη γαρ η ισχύεις, εκ φθοράς εκλυτρώσαι, ως φύσεως τον Σωτήρα, Μόνη κυήσασα.

Μετά τον Πολυέλεον, Κάθισμα.

Ήχος γ’. Την ωραιότητα.

Τέλειος γέγονας, Κοσμά μακάριε, ότι επώλησας, πλούτου τερπνότητα, και χαρισμάτων πλουτισμόν, ηγόρασας θεοφρόνως˙ Όθεν και απέλαβες, τον μισθόν τον ουράνιον, και εν τοις λειψάνοις σου, ευδοκίαν χριστεύοσμον. Διο τοις σοις τιμώσι παράσχου, χάριν και θείαν ευλογίαν.

Δόξα. Το αυτό.Και νυν. Θεοτοκίον.

Το αειπάρθενον, Κόρη Θεόνυμφε, και το απείρανδρον της σης κυήσεως, τον λογισμόν μου εξιστά˙ πώς εν ταυτώ συνήλθον, πάντα τα παράδοξα, υπέρ φύσιν μυστήρια; Πόθω γουν βαλλόμενος, ικετεύω σε δίδαξον, του γνώναι τον ακρώτατον όρον, Κόρη της σης Θεοτοκίας.

Οι Αναβαθμοί˙ Το α' Αντίφωνον του δ' ήχου.

Προκείμενον.

Θαυμαστός ο Θεός εν τοις αγίοις Αυτού.

Στίχ. Τοις αγίοις τοις εν τη γη Αυτού...

Ευαγγέλιον˙ Εκ του κατά Λουκάν (ΣΤ', 17-23), ό ζήτει εν τη Λειτουργία της 6ης Δεκεμβρίου.

Ο Ν' ψαλμός.

Δόξα. Ταις του διδασκάλου...

Και νυν. Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. β'.

Στίχ. Ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον τον ανόμημά μου.

Σήμερον τα μύρα των θαυμάτων, ο κόσμιος Κοσμάς προχέει. Η μελίρρυτος γλώττα, η τα σμήνη των πιστών συνάγουσα. Ο νους ο ηγεμών, παρ' ώ ο άμετρα καυχώμενος απεννεώθη. Ο υποφήτης ο πάνυ, παρ' ώ η άχρονος ενέργεια, τον χρόνον ενίκα. Ο των πρωτάθλων άριστος, ώ εισοδεύσαντι, αι δέρεις των αγίων ανεπετάσθησαν, και ουρανοί αυτοψεί εθεωρήθησαν. Άνωθεν γουν οσιώτατε, ικέτευε δοθήναι ημίν, το μέγα έλεος.

Είτα οι κανόνες. Της εορτής ή της Θεοτόκου μετά των ειρμών εις στ' και του Αγίου οι δύο εις η'.

Κανών της Θεοτόκου φέρων τήνδε την ακροστιχίδα.

«Αναξίου Σάββα ύμνον, Παρθένε, μη παρίδης».

Ωδή α'. Ήχος α'. Ειρμός.

«Σου η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύει δεδόξασται˙ αύτη γαρ Αθάνατε ως» πανσθενής, υπεναντίους έθραυσε, τοις Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Άφατος υπάρχει του Θεού, και ακατάληπτος όντως η πρόνοια˙ πώς ο απαθέστατος ως συμπαθής, το εμπαθές βουλόμενος, γένος αναπλάσαι, Παρθένου μήτρα ενώκησε.

Νεύματί σου Κόρη Μαριάμ, πρεσβευτικώ τον Κριτήν ευδιάλλακτον, ποίησόν μοι δέομαι και φοβεράς, καταδίκης λύτρωσαι, της επικειμένης, ανθ' ών αφρόνως διέπραξα

Άνασσα υπάρχεις αληθώς, αγγελικών διακόσμων Πανύμνητε˙ συ γαρ τον υπέρχρονον υπερφυώς, ως βρέφος σωματούμενον, φέρεις εν αγκάλαις, καινοποιούντα τα σύμπαντα.

Ξύλου βρώσει πέπτωκα ποτέ, του Παραδείσου Παρθένε ο άθλιος˙ Ξύλον με ανήγαγεν εκ της φθοράς, ο φυτευθέν εν μήτρα σου, πάντας συγκαλείται, εις αφθαρσίαν αιώνιον.

Κανών του Αγίου, ου η ακροστιχίς

«Κοσμά, δει σοι άδειν νικητήρια. Σάββας».

Ήχος πλ. δ'. Αρματηλάτην Φαραώ.

Κρούε την φόρμιγγα Κοσμά και δίδαξον, ως πρωτοστάτης τερπνός, όπως το σον έργον, το πνευματοκέλευστον, εγκωμιάσω άσμασιν, εις λαού θυμηδίαν, πανηγυρίζοντος σήμερον, σου τα εορτάσια όσιε.

Όλος εγένου τω Θεώ μακάριε, από σπαργάνων Κοσμά, όλος ενετρύφας, ιεροίς συγγράμμασι, και κατελάμφθης όλος δε, τω φωτί της Τριάδος˙ διο πρεσβύτην σε έχομεν, νυν εν ουρανοίς αξιόθεον.

Σήμερον άγει ιεράν πανήγυριν, η Εκκλησία Χριστού, επί τη ση μνήμη, ψαλμικώς χορεύουσα, Κοσμά μακαριώτατε˙ επ' εσχάτων γαρ ώφθης, εντεταλμένος απόστολος, μάρτυς ιερεύς και διδάσκαλος.

Μεγάλου Δένδρου ο βλαστός ανέθαλε, δεύτε σπουδαίως πιστοί, των ωραιοτήτων, και τερπνού αρώματος, αυτού επαπολαύσωμεν˙ του Κοσμά γαρ το κλέος, παντί τω κόσμω διέλαμψε, ώσπερ τις αστήρ τηλαυγέστατος.

Θεοτοκίον.

Μόνη υπάρχεις γυναικών Πανάχραντε, αποτεκούσα Θεόν, μόνη Θεοτόκος, μόνη Αειπάρθενος, μόνη τερπνόν μνημόσυνον˙ όθεν κράζομεν πόθω, Παρθένε Κόρη Ανύμφευτε, σώσον τους εις σε καταφεύγοντας.

Κανών του Αγίου έτερος, ου η ακροστιχίς˙

«Κοσμά λειψάνων οδμή με τέρπει εύ˙ Σάββας».

Ήχος δ'. Ανοίξω το στόμα μου.

Και νουν εκκαθάραντες, και λογισμόν ειρηνεύσαντες, αξίως τιμήσωμεν, Κοσμάν τον άγιον, οσιόαθλον, και νέον υποφήτην, και βίβλον χριστόγραφον, αναφανέντα ημίν.

Οδόν ηκολούθησας, προς ουρανούς την ανάγουσαν, εις Όρος το Άγιον αναδραμών ώ Κοσμά˙ όθεν γέγονας, των μοναζόντων τύπος, νηστεία ρωνύμενος, και προσευχή λαμπρυνόμενος.

Συμφέρον το ίδιον, καταλιπών οσιώτατε, ως έφη ο Κύριος, των αδελφών τας ψυχάς, ανεζώωσας, εις θάνατον κειμένας, ευαγγελιζόμενος την εξανάστασιν.

Θεοτοκίον.

Μητέρα σε οίδαμεν, υπερφυώς την κυήσασαν, τον πλάστην της κτίσεως, τον εν εσχάτοις καιροίς, αναπλάσσαντα, προσλήψει σων αιμάτων, την φύσιν την βρότειον, Κόρη θεόνυμφε.

Καταβασία. Ανοίξω το στόμα μου ή της εορτής.

Ωδή γ’. Της Θεοτόκου. Ο Ειρμός.

«Στερεωθήτω η καρδία μου, εις το θέλημά σου Χριστέ ο Θεός, ο εφ’ υδάτων ουρανόν,» στερεώσας το δεύτερον, και εδράσας εν τοις ύδασι, την γην παντοδύναμε».

Ιερατεύων την καινούργησιν, της γονής της Εύας ο Ύψιστος, Νέος Αδάμ εκ σου φανείς, Νέαν Εύαν σε έδειξε˙ διο χαίρει κτίσις άπασα, εν σοι Παναμώμητε.

Ορθοδοξούντές σε κηρύττομεν , Θεοτόκον όντως υπάρχουσαν˙ ότι εκύησας Θεόν, ου ψιλόν αλλά τέλειον, τον δι’ άκραν αγαθότητα, την φύσιν θεώσαντα.

Υψηγορούντες μεγαλύνομεν, του Θεού το Όρος το Άγιον, το αλατόμητον εξ ου, υπέρ φύσιν ελήλυθεν, ο Υιός σου και Θεός ημών, Παρθένε πανύμνητε.

Στενοχωρούμενον τοις πάθεσι, τοις Θεού με όλως χωρίζουσι, η πλατυτέρα ουρανών, πλάτυνόν με και πλήρωσον, σωφροσύνης και σεμνότητος, τον νουν μου Πανάχραντε.

Του Αγίου ο πρώτος. Ο στερεώσας κατ' αρχάς.

Απεμπολήσας της σαρκός, τας ηδονάς απεδόθης, εις αγώνας ιερούς θεομάκαρ˙ και εγένου φοβερός, τοις εναντίοις πνεύμασι˙ όθεν αριστεύσας, άθλον τον πρώτον απέλαβες.

Δις εκατόν επί δυσί, εν απεμφάτω δουλεία, ηχμαλώτευται το Γένος εν χρόνοις˙ άλλ' ανέστη ο Κοσμάς, εν θεϊκώ βραχίονι, και εσμόν αθέων, σταυροφανώς απεδίωξεν.

Επιστατούμενος Κοσμά, υπό της Θείας προνοίας, βιοτήν αγγελικήν εξελέξω˙ όθεν θεόθεν ελαμφθείς, ως εν φωτί διώδευσας, την ουρανοπορείαν, μόνω Θεώ συγγινόμενος.

Θεοτοκίον.

Ίασε Κόρη δυσωπώ, τας της ψυχής αλλοιώσεις, και νοός μου τας τροπάς τας ατόπους˙ όπως εφέσει θεϊκή, τη προς Θεόν προσφέρω σοι, αγγελικώς τον ύμνον, χαίρε Παρθένε πανύμνητε.

Του Αγίου ο δεύτερος. Τους σους υμνολόγους.

Αγίως ανύσας σου τον βίον, ανήλθες εις ύψη νοερά, θεολογίας όσιε˙ αφ' ων σαφώς εδίδαξας, θεογνωσίας ρήματα, τους αγνωσία καθεύδοντας.

Λιπόθυμον Γένος οικτιρήσας, φερόμενος ζήλω θεϊκώ, τον τύπον ανεζώωσας, τον έγκρυπτον του Πνεύματος˙ όθεν βοάν εδίδαξας, Χριστός ημών το κραταίωμα.

Ευρόντες πηγήν χριστοσυνθέτων, ερώτων σου λείψανα τα σα, πεποθημένως Άγιε, Κοσμά κατασπαζόμεθα, λιταίς σου μυριζόμενοι, και τω Χριστώ συνδεσμούμενοι.

Θεοτοκίον.

Ιστόν εξυφάνας εκ σαρκός σου, Παρθένε τη φύσει των βροτών, σωτήριον ιμάτιον, ο σος Υιός εποίησε, ώ ποικιλθείσα κράζει σοι, δόξα τη ση ωραιότητι.

Καταβασία. Τους σους υμνολόγους˙ ή της εορτής.

Κάθισμα. Ήχος δ’. Ο Υψωθείς εν τω Σταυρώ.

Των μοναζόντων ο θεόδμητος οίκος, και διδασκάλων η θεόγραφος βίβλος, ο ιερός Κοσμάς ιερουργούμενος Θεώ, σήμερον προτίθησι, τας αυτού αριστείας, και μύρα μεριζόμενα, εκ λειψάνων τοις φίλοις˙ ευωχηθέντες δεύτε οι πιστοί, έλεος θείον, και χάριν ευρήσομεν.

Δόξα. Το αυτό.Και νυν. Θεοτοκίον. Όμοιον.

Τη Θεομήτορι πιστοί συνελθόντες, υμνολογήσωμεν αυτήν εν εφέσει, αναβοώντες Δέσποινα ημών καταφυγή, σπεύσονκαι βοήθησον, τους εν ζάλαις του βίου, νοσήματα θεράπευσον, κινδυνεύοντας ρύσαι˙ όπως ευρόντες έλεος Θεού, ευχαριστίαν, σοι αναπέμπωμεν.

Ωδή δ'. Της Θεοτόκου. Ο Ειρμός.

«Εν Πνεύματι προβλέπων, προφήτα Αββακούμ, την του Λόγου σάρκωσιν, εκήρυττες «βοών˙ εν τω εγγίζειν τα έτη επιγνωσθήση, εν τω παρείναι τον καιρόν αναδειχθήση˙ δόξα τη δυνάμει σου Κύριε».

Αινέσωμεν την Κόρην, αγνεύοντι νοΐ, την αγνώς κυήσασαν, τον Λόγον του Πατρός˙ χαίρε απτώτων ταγμάτων η θυμηδία, και πεπτωκότων γηγενών η σωτηρία˙ χαίρε αειπάρθενε Δέσποινα.

Βασίλισσαν του κόσμου, Χριστός ο Βασιλεύς, υπέρ νουν ανέδειξε, Παρθένε Μαριάμ˙ διο βοώ σοι τα πάθη τα τυραννούντα, και της ψυχής το νοερόν επισκοτούντα, δίωξον πρεσβείαις σου δέομαι.

Αγίως διανύειν, τας τρίβους της ζωής, δυσωπώ αξίωσον, Πανάχραντε καμέ˙ ότι εγγίζει ο τέλος, και ου χρονίζει, ο δικαιότατος Κριτής παραγενέσθαι, δίκην απαιτήσαι ών έπραξα.

Υμνούσί σε Παρθένε, αγγέλων στρατιαί, εν αγκάλαις φέρουσαν, ορώσαι τον Χριστόν˙ όν εκδυσώπει συγχώρησιν των πταισμάτων, τοις επταικόσι παρασχείν μετανοούσι˙ δέησις Μητρός γαρ ευπρόσδεκτος.

Του Αγίου ο πρώτος. Σύ μου ισχύς Κύριε.

Μύρων Χριστού, όπισθεν, όσιε έδραμες, τετρωμένην, έχων την καρδίαν σου, ερωτικοίς μάκαρ στεναγμοίς˙ όθεν εν εφέσει, εβόας προς τον ποθούμενον˙ Χριστέ μου δεύρο στήθι, του νοός μου εν μέσω˙ Συ γαρ εί η ζωή μου Φιλάνθρωπε.

Έχων Χριστόν ένδοθι, εν τη καρδία σου, ευηρέστεις, τούτω οσιώτατε˙ και νοερώς όρος υψηλόν, της θεοφανείας κατέλαβες το

ακρώτατον˙ Διο και προσωμίλεις, τω Θεώ ενωπίω, ώσπερ φίλος προς φίλον θεόληπτε.

Σταλαγμηδόν έρρεον, καρδιοστάλακτα, του προς Θεόν, πόθου σου τα δάκρυα, πάτερ Κοσμά˙ όθεν καθαρόν, σκεύος των χευμάτων, του Πνεύματος αναδέδειξαι, εξ ών και εποτίσθη, ο λειμών των ποθούντων, της μελλούσης ζωής την απόλαυσιν.

Θεοτοκίον.

Ου συγγενείς δύνανται, ούχ' οι συνόντες μοι, ούτε φίλοι, όλως συμπαθήσαι μοι˙ διο προς σε, σπεύδω το λοιπόν, την αγνήν Παρθένον, την εύσπλαχνον και φιλάνθρωπον˙ Βοήθησόν μοι τάχει, συ γαρ Μόνη υπάρχεις, του Θεού μου η Μήτηρ Θεόνυμφε.

Του Αγίου, ο δεύτερος. Ο καθήμενος εν δόξη.

Ψαλμικώς κραταιωθέντες, τοις γλυκέσι σου ρήμασι και ταις αρεταίς σου, λίαν σε τιμώμεν μακάριε, ως γνωσιώτατον φίλον, του Κυρίου σου, του δοξάσαντος, δόξη απορρήτω την μνήμην σου.

Ἀκαμάτοις σου πρεσβείαις, σην Μονήν περιφύλαττε, εν απεριτρέπτω, πάτερ καταστάσει και άτρωτον, δαιμονικής επηρείας, ίνα ψάλλη σοι˙ Ισαπόστολε, ημών υπάρχεις το στήριγμα.

Νεουργήσαι ευδοκήσας, Δεσπόζων της κτίσεως, γένος τυρρανία, απηνούς τυράννου κρατούμενον, σκεύος σε πάτερ αρμόζον, εξελέξατο, Ισαπόστολον, σε αναδείξας μακάριε.

Θεοτοκίον.

Ωραιώθη σου Παρθένε, επελεύσει του Πνεύματος, η Θεοτοκία, ή ως εν εσόπτρω οι άγγελοι, συν τοις αγίοις ορώσι, εκπληττόμενοι, το απαύγασμα, του Πατρός ανθρωπιζόμενον.

Καταβασία. Την ανεξιχνίαστον˙ ή της Εορτής.

Ωδή ε'. Της Θεοτόκου. Ο Ειρμός.

«Το Θείον και άρρητον κάλλος, των αρετών σου Χριστέ διηγήσομαι˙ εξ αϊδίου γαρ» δόξης συναΐδιον, και ενυπόστατον λάμψας απαύγασμα, παρθενικής από γαστρός, τοις «εν σκότει και σκιά, σωματωθείς ανέτειλας ήλιος».

Μητέρα του Κτίστου γινώσκω, την θυγατέρα Αδάμ την αμώμητον˙ ήν ανυμνούσιν αγγέλων τα συστήματα, και των δαιμόνων τα στίφη δεδοίκασι˙ ικετικώς ουν και ημείς, δυσωπήσωμεν αυτήν˙ απολλυμένους σώσον Πανάχραντε.

Νοός μου τον τάραχον παύσον, και ειρηναίαν ζωήν μοι πρυτάνευσον˙ ως ολική διανοία Θεονύμφευτε, υμνολογώ σου το κάλλος το άρρητον˙ Συ γαρ ει Μήτηρ αληθώς, του Φωτός του εκ Φωτός, του ουρανόν και γην ειρηνεύσαντος.

Ο θάνατος κρούει τας πύλας, και του Κριτού την απόφασιν δέδοικα˙ αλλά προσφεύγω σοι Κόρη κυλινδούμενος, τη ευσπλαχνία σου˙ σώσον με δέομαι˙ Ο της ζωής γαρ αρχηγός, εις το σώσαι τους βροτούς, σωματωθείς εκ σου προελήλυθε.

Ναόν σε της κτίσεως πάσης, ο ποιητής των απάντων εποίησε, φιλανθρωπία οικήσας εν μήτρα σου˙ διο σοι προσπίπτω δεόμενος

Άχραντε, της σης με ποίησον Αγνή, Θεοτοκίας λατρευτήν, ήν η σαφώς η κτίσις ηγίασται.

Του Αγίου, ο πρώτος. Ίνα τι με απώσω.

Ισχυρόν σε Προστάτην, εύρατο του γένους σου, Κοσμά το πάμφυλον˙ Συ γαρ σταυροτύπως, την εικόνα Χριστού ανεκαίνισας, την ενδομυχούσαν, εν ταις ψυχαίς των ραθυμούντων, εξ αλήκτου δεινής κατασχέσεως.

Αναβλέψατε φίλοι, ίδετε εγγίζουσαν την απολύτρωσιν, εμελώδεις πάτερ, τοις ωσίν των κειμένων εις θάνατον˙ τω Χριστώ οράτε, τω εκ νεκρών εξεγερθέντι, και ευρήσετε την εξανάστασιν.

Δουλικήν ακαρδίαν, έλεγες τινάξατε, μακράν θεόληπτε˙ και ενδοκαρδίως, τον Χριστόν ενδυσάμενοι σπεύσατε, προς ελευθερίας, τας ατραπούς τας σωτηρίους, πάσης πλάνης εμφρόνως εκκλίνοντες.

Θεοτοκίον.

Ελεήσας ο Λόγος, γένος το ανθρώπινον, εν σοι ενώκησε, τη Παρθένω Κόρη, κατ’ αμφοίν ταις ουσίαις ενούμενος, εν ενί προσώπω˙ διο σε όντως Θεοτόκον, αληθώς σε κηρύττομεν Δέσποινα.

Του Αγίου, ο δεύτερος. Εξέστη τα σύμπαντα.

Νυγμοί εγερσίθυμοι, εκ στόματός σου ήχησαν, γόνατα νευρούντες λελυμένα, σπεύδειν οξέως επί υδάτων πηγάς, της ελευθερίας της κλεινής˙ ή και καταξίωσον ακλινώς στήκειν άπαντας.

Ορθόδοξα δόγματα, δια της σης κρατύνονται, πάτερ ακραιφνούς θεολογίας˙ εν ή το Πνεύμα, μόνον εκ μόνου Πατρός, φαμέν εκπορεύεσθαι σαφώς, ξένην εργαζόμενον, τοις πιστοίς ανακαίνισιν.

Δοχεία της χάριτος, υπάρχουσι τα λείψανα, πάντων των Θεώ ηγιασμένων˙ όθεν και βρύσιν, πνευματικών δωρεών, πλουτεί η φερώνυμος Μονή, λείψανον το πάνσεπτον, του Κοσμά του τρισμάκαρος.

Θεοτοκίον.

Μητρόπολις γέγονας, αδαμιαίας φύσεως, πάλαι της Εδέμ εξοικισθείσης, Άχραντε Κόρη, εν ή ο πάντων Θεός, εδόμησεν οίκον εαυτώ, πάσι παρεχόμενος, ξενιτείαν σωτήριον.

Καταβασία. Εξέστη τα σύμπαντα˙ ή της Εορτής.

Ωδή στ'. Της Θεοτόκου. Ο Ειρμός.

«Τον προφήτην Ιωνάν, εκμιμούμενος βοώ˙ την ζωήν μου Αγαθέ, ελευθέρωσον φθοράς,» και σώσον με, Σωτήρ του κόσμου, κράζοντα δόξα σοι».

Πάσα κτίσις εν χαρά, εκβοά σοι Μαριάμ˙ χαίρε Μήτηρ της Ζωής, χαίρε λύσις της φθοράς, Πανάχραντε, χαρά του κόσμου, χαίρε Θεόνυμφε.

Αγαλλίαμα βροτών, και αγγέλων χαρμονή, δυσωπώ σε Μαριάμ, απογνώσεως δεινής, οχλούσης με, εξάγαγέ με, κράζοντα χαίρε σοι.

Ραθυμία χαλεπή, την ψυχήν επισκοτεί, αλλά δέομαι Αγνή, φώτισόν με τω φωτί, - δύνασαι γαρ - , των πρεσβειών σου, κράζοντα χαίρε σοι.

Θεοτόκε τον Χριστόν, εκδυσώπει εκτενώς, όπως λύτρωσιν καμοί, τω πεσόντι εν κακοίς, δωρήσηται˙ Συ γαρ μοι πέλεις, άμαχος δύναμις.

Του Αγίου, ο πρώτος. Την δέησιν εκχεώ προς Κύριον.

Ιθύντωρ συ, απλανής γεγένησαι, προς Θεόν αμφιγνοούντος του έθνους Όθεν Κοσμά, τοις συμφύλοις εβόας, αυτομομείν εκ της πλάνης προς Κύριον, και έθη δε τα βδελυρά, αποβάλλειν μακράν ως ψυχόλεθρα.

Νευρώσαντες, της ψυχής την δύναμιν, τη τρυφή των ζωηρρύτων σου λόγων, χαρμονικώς, εκβοώμέν σοι πάτερ˙ χαίροις Κοσμά διδασκάλων ακρώτατε, μαρτύρων ο συναθλητής, ιερεύ οσιώτατε χαίρέ σοι.

Νεμέσεως, θεϊκής το άστεκτον, επαμείβουσαν τροπήν επενήργει˙ Όθεν ιδού! Αρπαλέος τροπούται, ο δε Κοσμάς εκφοβίζει τους λέτοντας, και τη δυνάμει του Σταυρού, δειματούται αθέων το στράτευμα.

Θεοτοκίον.

Ικέτευσον, τον Υιόν σου Άχραντε, όν εν κόλποις σου βαστάζεις αφθόρως, όπως ημών, αποσβέση το στρήνος, των ακολάστων παθών οις δουλούμεθα, πιμπλών ημών το νοερόν, θεουργού διαθέσεως Πάναγνε.

Του Αγίου, ο δεύτερος. Εβόησε προτυπών.

Ήκουσας, θεϊκής δυναστείας το ήχημα, μεγαλώνυμε Κοσμά, και τρανώς εμελώδησας, μυστικοίς σου φθόγγοις, ιαχήν εγερσίγενον όλβιε.

Μηδόμενος, την του Γένους παλίνζωον έγερσιν, διδασκάλους και σχολάς, ιερώς εγκαθίδρυσας, γωνιαίον λίθον, την παιδείαν προθέμενος όσιε.

Έχουσα, η Μονή Μεγαδένδρου απόθετον, τα σα λείψανα Κοσμά, θησαυρόν πολυτίμητον, γηθοσύνως κράζει˙ συ ημών κηδεμών συμπαθέστατος.

Θεοτοκίον.

Τάξεις μεν, νοερών διακόσμων υμνούσί σε, Θεοτόκε Μαριάμ˙ των βροτών δε συστήματα, γοερώς βοώσι˙ ταις λιταίς ημάς σώσον δεόμεθα.

Καταβασία. Την Θείαν ταύτην˙ ή της Εορτής.

Κοντάκιον.Ήχος β'. Την εν πρεσβείαις.

Των αρετών σου η δύναμις ενεργείται, εν τοις λειψάνοις σου πάτερ δια θαυμάτων˙ λάλει ημίν γουν εν οσιότητι˙ και ασφαλείς ως πάλαι, προς τον Θεόν κατεύθυνον˙ ημών γαρ υπάρχεις ο έφορος.

Ο Οίκος.

Των γεηρών γυμνωθείς υπέρ πάντας, τον νοητόν Γολιάθ, και κακών μυριάδας, κατέβαλες ως ο Δαβίδ, οσιώτατε Κοσμά, του Κυρίου εραστά. Ακαμάτω γαρ διδασκαλία και αμυθήτω φιλοπτωχεία, ο ακτήμων και γυμνός, ο πραΰς και ποθεινός, τοις

επτοημένοις ευηγγέλισας, και γένος δυσημερούν ευεργέτησας. Αίματι δε μαρτυρικώ καθωραϊσθείς, παρέστης τη υπέρ νουν αγαθότητι του ουρανίου Κυρίου σου. Όν και δυσώπει απαύστως υπέρ ημών˙ ημών γαρ υπάρχεις ο έφορος.

Συναξάριον.

Τη β' του αυτού μηνός, Μνήμη της καταθέσεως αποτμήματος εκ το ιερού Λειψάνου του Αγίου ενδόξου Ιερομάρτυρος και Ισαποστόλου Κοσμά του Αιτωλού εν τη επ' ονόματι Αυτού Ιερά γυναικεία Μονή τη κειμένη εν τη γενετείρα Αυτού, ήτοι εν τω Μεγάλω Δένδρω Αιτωλίας.

Στίχοι.

Κοσμάς ρητήρ ηδέ ρυτήρ Γένους,

θανών ζη χ' ιεράζει εν πόλω.

Δευτερίη Κοσμάς ποτί πάτριον ήλυθεν ούδας.

Ταις αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'. Της Θεοτόκου. Ο Ειρμός.

«Η κάμινος Σωτήρ εδροσίζετο, οι Παίδες δε χορεύοντες έψαλλον˙ Ευλογητός ο Θεός,» ο των πατέρων ημών».

Ενίκησας τους όρους της φύσεως, φανείσα και Παρθένος πανάσπιλος, και Μήτηρ όντως Χριστού, του εκ Πατρός γεννητού.

Ναμάτων σου Παρθένε με πλήρωσον˙ πηγάζεις γαρ τοις πάσι σωτήριον, αναψυχήν ώ Αγνή, Χριστόν το ύδωρ το ζων.

Επόμενος οπίσω σου έδραμον, εις Όρος του Θεού το πανάγιον, ασματικώς ανυμνών, σε Θεοτόκε Αγνή.

Μητέρα σε ο Κτίστης ωνόμασε, φερόμενος αγκάλαις σου Δέσποινα, οικονομών ως Θεός, την σωτηρίαν ημών.

Του Αγίου, ο πρώτος. Παίδες εβραίων.

Κύματα άγρια θαλάσσης, επαφρίζοντα, τας εαυτών αισχύνας, ώσπερ πάλαι και νυν, απέλασον της ποίμνης, της θεοσώστου όσιε, Ισαπόστολε παμμάκαρ.

Ή γαγόν σε απαγχονίσαι, οι θεήλατοι, άλλ' έστης θαρσαλέως˙ και ιδού στεφανοί, Χριστός την κεφαλήν σου, ευλογητός ει κράζοντα, ο Θεός εις τους αιώνας.

Τύμβος καλύπτει σου το σώμα, Ισαπόστολε, αλλά Χριστός προχέει, δι' αυτού μυρισμόν, ευόσμων αρωμάτων, τοις εκτελούσι πάντοτε, την χαρμόσυνόν σου μνήμην.

Θεοτοκίον.

Ήχον ακήκοας αγγέλου, και συνέλαβες, τον Λόγον εν γαστρί σου˙ άλλ' εισάκουσον νυν, ημών παρακαλούντων˙ τας ιαχάς απόσβεσον, Θεοτόκε των αθέων.

Του Αγίου, ο δεύτερος. Ουκ ελάτρευσαν.

Ευφημούμεν σε, Κοσμά Ιεραπόστολε, οι σοι αυτόχθονες, και πανελλήνων πληθύς, αξίως κατέχοντες, τον ενδιάθηκον, όλβον Άγιε, των ζωηφόρων λόγων σου, εις ψυχών παραμυθίαν.

Ριζιμαίον, ανεκτήσατο θεμέλιον, αναδομούμενον, Γένος πριν ερειπωθέν, Χριστού την ακρότομον, πέτραν της πίστεως. Ούτω γαρ, είργασται, Κοσμάς ο πνευματέμφορος, και θεόλεκτος δομήτωρ.

Πεντεσύνθετον, θυμίαμα ευπρόσδεκτον, αναδιδόασι, τα σα λείψανα Κοσμά και όσιος πέλεις γαρ και Ισαπόστολος, και προφήτης δε, και πάνσοφος διδάσκαλος, και Χριστού Ιερομάρτυς.

Θεοτοκίον.

Ευκατάνυκτον, ημίν καρδίαν Δέσποινα, τοις δεομένοις σου, παράσχου και προς Θεόν, ανδρείως προσκλίνουσαν˙ Μόνη γαρ δύνασαι, ευδιάλλακτον, τον σον Υιόν τοις πταίσμασι, αποφήναι Θεοτόκε.

Καταβασία. Ουκ ελάτρευσαν˙ ή της Εορτής.

Ωδή η’. Της Θεοτόκου. Ο Ειρμός.

«Ον φρίττουσιν άγγελοι, και πάσαι στρατιαί, ως Κτίστην και Κύριον, υμνείτε ιερείς,» δοξάσατε Παίδες, ευλογείτε λαοί, και υπερυψούτε, εις πάντας τους αιώνας».

Ηνίξατο σύμβολον, ποτέ Μωσαϊκόν, σε θάλασσαν άγουσαν, θεόλεκτον λαόν˙ ημείς δε Παρθένε, εις την άνω ζωήν, δια σου αχθέντες, υμνούμεν σου την χάριν.

Παρθένος θηλάζουσα, εκπλήττει μου τον νουν˙ Πώς Κόρη εγέννησε το Ένα εν δυσί, ταις φύσεσι Μόνη; Ευλογείτε λαοί, τον σεσαρκωμένον, Θεόν φιλανθρωπία.

Ανέρχου την κλίμακα, θεόλεκτε λαέ, δι’ ής καταβέβηκε, Θεός επί της γης˙

Παρθένου συνάρσει, εν Θεώ γεγονώς, ώσπερ και ο Κτίστης, εκ ταύτης εσαρκώθη

Ρημάτων ακήκοας, ποτέ αγγελικών, και έτεκες Άχραντε, Θεόν επί της γης˙ νυν άκουσον Κόρη, δεομένων λαών, και έλκυσον άνω, Χριστού εις Βασιλείαν.

Του Αγίου, ο πρώτος. Τον εν όρει αγίω.

Ρήμα έφης Κοσμά ευλογημένον, και Χριστόν και ψυχήν, κρατήσατε γενναίως˙ τα δε φθαρτά σαφώς απεμπολήσατε˙ όπως τον Δεσπότην, τον και πλουτοδότην, κερδίσητε προφρόνως.

Ίτε φίλοι πιστοί της Εκκλησίας, τον Κοσμάν τον κλεινόν, τιμήσωμεν πρεπόντως˙ Ευαγγελίου ρήμα τον πληρώσαντα, τον ομολογία, και διδασκαλία, φρουρήσαντα την πίστιν.

Αποστόλων τον ζήλον ενεδύσω, ότε ώφθης Κοσμά, φωστήρ της Εκκλησίας˙ ήν και πλουτήσας όσιε διδάγμασι, Κύριον ανύμνεις, και εδοξολόγεις, εις πάντας τους αιώνας.

Θεοτοκίον.

Σε υμνούσιν αγγέλων στρατηγίαι, και ανθρώπων πληθύς, Πανάχραντε Μαρία˙ ότι αγκάλαις φέρεις τον Δεσπόζοντας, άνθρωπον οφθέντα, και θεοποιούντα, αδαμιαίον γένος.

Του Αγίου, ο δεύτερος. Χείρας εκπετάσας.

Ίστης ιερώτατον Σταυρόν, τω σκίμποδι, της χοϊκότητος˙ ακτίνες δε σταυροπύρσευτοι, ακρατώς εξεπορεύοντο, από χειλέων σου Κοσμά, κράζειν διδάσκουσαι˙ Ευλογείτε, πάντες λαοί ορθοδόξως τον Κύριον.

Έπεσθε ανεκραύγαζες Κοσμά, Θεού τοις κρίμασι, καμού τοις ρήμασι˙ Σταυρόν δε κούφως αράμενοι, τον Χριστόν ακολουθήσατε˙

και ελεύσεται λοιπόν, τάχος το ποθούμενον˙ ανατελεί γαρ πάσι Κυρίου το κράτος το ένθεον.

Ύμνον σοι προσάγω χαρμονής, Κοσμά τρισόλβιε, μαρτύρων κράτιστε˙ τυράννου θράσος γαρ έσβεσας, αποκτείναι απειλήσαντος, τον χριστώνυμον λαόν, πλην μεματαίωται˙ Ευλογείτε, όθεν τα έργα Κυρίου τον Κύριον.

Θεοτοκίον.

Σου της εκλεκτής εν γυναιξί, Παρθένε Άχραντε, λιταίς, σωζόμεθα. Εχθρού γαρ μένος ενίκησε, την βροτείαν ενδυσάμενος, φύσιν εκ σου ο Λυτρωτής˙ όθεν κραυγάζομεν˙ Ευλογείτω, πάσα η κτίσις Κυρίου τον Κύριον.

Καταβασία. Παίδες ευαγείς εν τη καμίνω, ή της Εορτής.

Ωδή θ’. Της Θεοτόκου. Ο Ειρμός.

«Τύπον της αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος˙ και νυν καθ’» ημών, των πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν την κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Ίδετε λαοί θαυμάσια, τη Παναχράντω Κόρη, επισυντρέχοντα. Ιδού εν Αυτή, φύσις Θεού σεσωμάτωται, και φυλαί μερισθείσαι συνήφθησαν, υμνούσαι ανενδότως, της Θεοτόκου το μυστήριον.

Δέει και χαρά συνέχομαι, ενατενίζων Κόρη, τα σα μυστήρια, τα έξω νοός˙ πλην ταπεινούμενος δέομαι, των παθών μου τον ρύπον απόσμηξον, όπως κεκαθαρμένος, ακαταπαύστως μεγαλύνω σε.

Ήχου γοερού επάκουσον, συγκεχυμένου κόσμου, γοργοεπήκοε˙ και παύσον Αγνή, των αδικούντων το τόλμημα˙ τους πολέμους εις τέλος αφάνισον, όπως εν καταστάσει, σε Θεοτόκε μεγαλύνωμεν.

Σκάνδαλα εναποσόβησον, ταραχουργούντα κόσμου, το ευκατάστατον˙ ημών τας ψυχάς, εκ πειρασμών διαφύλαξον˙ εν ειρήνη την ποίμνην συντήρησον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν.

Του Αγίου, ο πρώτος. Εξέστη επί τούτω ο ουρανός.

Απόλαυσε τα τέκνα σου ώ Κοσμά, ωραιόζηλον φέροντα ένδυμα, θεαστικώς˙ όθεν εκδυσώπει υπέρ ημών, όπως στολήν θεόπλοκον, εν τη Βασιλεία των ουρανών, φορέσωμεν αξίως, και των πεποθημένων, της απολαύσεως μετάσχωμεν.

Βοήθησον πρεσβείαις σου τους λαούς, τους φιλούντας Χριστόν οσιώτατε, Πάτερ Κοσμά˙ θρόνω γαρ παρίστασαι του Θεού, όλος φωτί λαμπόμενος, όλος τοις αγγέλοις προσομιλών, Χριστώ δε τας αιτήσεις, ημών διαβιβάζων, ώσπερ θυμίαμα ευπρόσδεκτον.

Βοάς και νυν Κοσμά αποστολικώς, εκ των βίβλων των σων ιερώτατε, πάσαις φυλαίς˙ άφετε τον πλάνον, τον κομπαστήν, και τον αλλοτριόφρονα, και τον ψυχοκτόνον ψευδοθεόν, και τω Χριστώ και Μόνω, πιστεύσατε˙ Αυτός γαρ, πέλει Σωτήρ φιλανθρωπότατος.

Άρον σου τα όμματα ώ λαέ, Μεγαδένδρου και ίδε θαυμάσια, τον σον βλαστόν, σκέποντα του κόσμου τους ευσεβείς˙ όθεν και αναφώνησον˙ χαίροις οσιώτατε και σοφέ, Κοσμά Ιερομάρτυς, του κόσμου ευκοσμία˙ χαίροις πανθαύμαστε διδάσκαλε.

Θεοτοκίον.

Σιγάτε κακορρήμονες φλυαρείν, και της γης διδαχθήτω τα πέρατα, ότι Θεός, Λόγος ο συνάναρχος τω Πατρί, και τω Αγίω Πνεύματι, γέγονε βροτός υποστατικώς˙ Αυτός Μόνος και μόνως, εκ της Αειπαρθένου, ήν ευσεβούντες μεγαλύνομεν.

Του Αγίου, ο δεύτερος. Άπας γηγενής.

Άνικμος ο νους, κατέστη τω καύσωνι των πονηρών λογισμών˙ όμβρισόν μοι δέομαι, Κοσμά λιταίς σου τα θεία νάματα, δι ‘ ών αναζωούμενος, ευχαριστήριον, εκβοήσω, ύμνον Ισαπόστολε, της ψυχής μου τερπνόν αγαλλίαμα.

Βάμματα τιμώ, του θείου σου αίματος, Ιεραπόστολε˙ και τας τρίβους σέβομαι, δι’ ών διέλαμψαν κηρυττόμενα, της ψυχικής εγέρσεως, τα ευαγγέλια˙ εξαιρέτως προσκυνώ τα λείψανα, τα εκβλύζοντα πάσιν ιάματα.

Βάθος μυστικόν, Θεού της χρηστότητος, αποθαυμάσωμεν˙ πώς τω Θείω Πνεύματι, αγίων λείψανα ουσιώθησαν! Διο Κοσμά το τίμιον και χαριτόβρυτον, ασπασίως, λείψανον απτώμεθα, ευλογίαν πολλήν κομιζόμενοι.

Αναβατικώς, πιστοί προσπελάσωμεν, τοις αγιάσμασι˙ την λειψανοθήκην δε, Κοσμά του θείου, πόθω τιμήσωμεν˙ εν τω σμικρώ το μείζον γαρ, περικλειόμενον, αναβλύζει, άφθονα χαρίσματα, τοις τελούσιν αυτού τα μνημόσυνα.

Θεοτοκίον.

Σώτειρα ημών, εδείχθης Πανάμωμε, αποκυήσασα, τον εκλυτρωσάμενον, αδαμιαίον γένος ολλύμενον˙ ον εκδυσώπει πάντοτε, τους κινδυνεύοντας, διασώζειν, έλεος δωρούμενον, και ψυχών ασφαλή περιποίησιν.

Καταβασία. Άπας γηγενής˙ ή της Εορτής.

Εξαποστειλάρια.Τοις μαθηταίς συνέλθωμεν.

Δεύτε πιστοί ακούσωμεν, του Διδασκάλου λέγοντος˙ τη παραδόσει στήκετε, τη ιερά των πατέρων Χριστού του Μόνου Σωτήρος, μείνατε εν τη πίστει˙ ελπίδι κραταιώθητε, ζωής της αιωνίου˙ και του Θεού, και αδελφών ενώθητε τη αγάπη˙ και λήψεσθε τα αγαθά, της άνω Βασιλείας.

Έτερον. Απόστολοι εκ περάτων.

Μεγάλου Δένδρου η πόλις, και η φερώνυμος Μονή , εν τοις σεπτοίς σου λειψάνοις, προστάτην εύρατο θείον. Άλλ' ώ Κοσμά θεομάκαρ, καθικετεύων μη παύση.

Θεοτοκίον. Όμοιον.

Τη ση πρεσβεία θαρρούντες, οι εν πελάγει των κακών, περιαντλούμενοι όλως, Παρθένε Μήτηρ Κυρίου, παρακαλούμεν εν πόθω, μη επιλάθη σων δούλων.

Εις τους Αίνους.

Ιστώμεν στίχους δ' και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος α'. Πανεύφημοι μάρτυρες.

Της άνω λαμπρότητος Κοσμά, ορατής γενόμενος, Χριστόν μορφούμενον έσχηκας, εν σοι θεόληπτε˙ όθεν και επ’ ώμων, τον Σταυρόν αράμενος, τοις ίχνεσιν Αυτού ηκολούθησας. Ον καθικέτευε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος.

Ευρών ακηλίδωτον Χριστός, καθαρόν σε έσοπτρον, Πνεύματος Θείου ενέπλησε, Κοσμά και έφησε˙ ει φιλείς με λάλει, ζωηφόρα ρήματα και ποίμνην την αγίαν συνάγαγε, τηρών απήμαντον από λύκων και αιρέσεων˙ μετά σου γαρ, έσομαι μακάριε.

Φιλώ σε φιλούντά με Κοσμά, τω Χριστώ αντέφησας, κατά το ρήμα σου γένοιτο, ο ενετείλω μοι˙ όθεν και φορέσας, την εξ ύψους δύναμιν, πιστών εν ταις καρδίαις εμμόρφωσας, Χριστόν φιλάνθρωπον. Χαριζόμενον τοις θέλουσι, σωτηρίαν, και το μέγα έλεος.

Φαιδρώς Μεγαδένδρου η Μονή, μεγαλύνου έχουσα, Κοσμά του σσε ωραΐσαντος, ουρανοτύπωτον, έπαθλον εν κόλποις, τα εκείνου λείψανα, Χριστού την ευδοκίαν εμφαίνοντα, άνθ’ ών ηρίστευσεν, ως διδάσκαλος και όσιος και ως μάρτυς, ουρανοστεφάνωτος.

Δόξα. Ήχος πλ. α’.

Της ακενώτου δωρεάς, εκ των λειψάνων του Κοσμά, δαψιλώς επαπολαύσαντες, πανευφροσύνως ούτως είπωμεν. Χαίροις το Μέγα Δένδρον του Πνεύματος, το τους πιστούς καρποδοτούν. Χαίροις ο χριστοφόρος διδάσκαλος, ο τα πλήθη κερδαίνων, εις περιουσιασμόν ανόσφιτον. Χαίροις ο δεύτερος απόστολος, ο του

Παύλου ισοστάσιος κα ομόζηλος. Χαίροις ο πόνοις ακαμάτοις, λαόν ταλαίμοχθον ρυσάμενος, και κοσμήσας αυτόν, τω της χριστωνυμίας ονόματι. Άλλ’ ώ παμμακάριστε όσιε, και μάρτυς των παθημάτων του Χριστού, μη διαλείπης δυσωπείν τον Θεόν, δωρηθήναι ειρήνην τω κόσμω, και ταις ψυχαίς ημών, το μέγα έλεος.

Και νυν. Θεοτοκίον. Μακαρίζομέν σε...

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τα τυπικά, οι Μακαρισμοί και εκ του κανόνος η γ’ και η στ’ ωδή.

ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον. Ήχος βαρύς.

Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου Αυτού.

Στίχ. Τί ανταποδώσωμεν τω Κυρίω...

Προς Κορινθίους Β’ επιστολής Παύλου το Ανάγνωσμα.

Αδελφοί, ο Θεός ο ειπών εκ σκότους φως λάμψαι...

Ζήτει τη ΙΕ’ Κυριακή (Κεφ. Δ’, 6-15)

Αλληλούια. Ήχος πλ. β’.

Μακάριος ανήρ ο φοβούμενος τον Κύριον

Στίχ. Η δικαιοσύνη αυτού μένει εις τον αιώνα.

ΕΥΑΓΓΕΛΙΟΝ Εκ του κατά Λουκάν

Ζήτει τω Σαββάτω της ΙΑ’ εβδομάδος (Κεφ. ΙΒ’, 32-40)

Μη φοβού το μικρόν ποίμνιον...

... ο Υιός του ανθρώπου έρχεται.

Κοινωνικόν.

Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούια.

Μεγαλυνάρια.

Τον του Μεγαδένδρου Θείον βλαστόν, και της Αιτωλίας, εγκαλλώπισμα το τερπνόν, της πάσης Ελλάδος, ωράϊσμα το νέον. Κοσμάν του κόσμου κόσμον, ύμνοις τιμήσωμεν.

Δεύτε επαινέσωμεν οι πιστοί, άσμασι και ύμνοις, τον διδάσκαλον τον σοφόν, στέφος των μαρτύρων, ακρέμονα αγίων, και ιερομαρτύρων το ακροθίνιον.

Σκέπε φρούρει φύλαττε θαυμαστώς, του Μεγάλου Δένδρου, την ομώνυμόν σοι Μονήν, την εν ευλαβεία, φυλάττουσαν τον πλούτον, Κοσμά των σων λειψάνων, τον ενθεώτατον.

Δίστιχον.

Τελέσας τον ύμνον, Κοσμά, προσμένει
παθών την λύσιν, Σάββας ο τάλας.

